Πρώτη τῶν Ἰσοσυλλάβων.

§. ιζ´. Πρώτη Κλίσις τῶν ἰσοσυλλάβων ἐςὶν ἀρσενικῶν ὀνομάτων εἰς ας ληγόντων, καὶ εἰς ης. ἀρσενικῶν, καὶ κοινῶν. ὧν ἡ Γενικὴ εἰς ου λήγει. ἡ Δοτικὴ εἰς ᾳ, ἢ εἰς ῃ, κατὰ τὸ Φωνῆεν τῆς ὀνομαςικῆς. ἡ Αἰτιατικὴ εἰς ν, μετὰ τοῦ Φωνήεντος τῆς ὀνομαςικῆς.

§. ιή. Ἑνικῶς ἡ Ὀνομαςικὴ, ὁ Αἰνείας. ἡ Γενικὴ, τοῦ Αἰνείου. ἡ Δοτικὴ, τῷ Αἰνείᾳ. ἡ Αἰτιατικὴ, τὸν Αἰνείαν. ἡ Κλητικὴ, ὦ Αἰνεία κοινῶς, καὶ ὦ Αἰνείας ἀττικῶς. Δυϊκῶς ἡ Ὀνομαςικὴ, καὶ Αἰτιατικὴ, τὼ Αἰνεία. ἡ Γενικὴ, καὶ Δοτικὴ, τοῖν Αἰνείαιν. Ἡ Κλητικὴ, ὦ Αἰνεία. Πληθυντικῶς ἡ Ὀνομαςικὴ, οἱ Αἰνεῖαι. ἡ Γενικὴ, τῶν Αἰνειῶν. ἡ Δοτικὴ, τοῖς Αἰνείαις. ἡ Αἰτιατικὴ, τοὺς Αἰνείας. ἡ Κλητικὴ, ὦ Αἰνεῖαι.

§. ιθ´. Ὁ Χρύσης, τοῦ Χρύσου, τῷ Χρύσῃ, τὸν Χρύσην, ὦ Χρύση, καὶ ὦ Χρύσης. Τὼ Χρύσα, τοῖν Χρύσαιν, ὦ Χρύσα. Οἱ Χρῦσαι, τῶν Χρυσῶν, τοῖς Χρύσαις, τοὺς Χρύσας, ὦ Χρῦσαι.

§. κ´. Ὁ καὶ ἡ λῃςὴς, τοῦ καὶ τῆς λῃςοῦ, τῷ καὶ τῇ λῃςῇ, τὸν καὶ τὴν λῃςὴν, ὦ λῃςά. Τὼ καὶ τὰ λῃςὰ, τοῖν καὶ ταῖν λῃςαῖν, ὦ λῃςά. Οἱ καὶ αἱ λῃςαὶ, τῶν λῃςῶν, τοῖς καὶ ταῖς λῃςαῖς, τοὺς καὶ τὰς λῃςὰς, ὦ λῃςαί.

§. κά. Δεῖ δὲ εἰδέναι, ὅτι τὰ ἔχοντα τὸ τ, ἢ ἐθνικὰ ὄντα, εἰς α ποιοῦσι τὴν κλητικήν. Ὁ προφήτης, ὦ προφῆτα. ὁ Πέρσης, ὦ Πέρσα. Ὁμοίως δὲ καὶ τὰ ἔχοντα τὸ π, ἢ σύνθετα ὄντα ἐκ τοῦ μετρῶ, ἢ ἄρχω, ἢ τρίβω, οἷον, ὁ κυνώπης, ὦ κυνῶπα. ὁ γεωμέτρης, ὦ γεωμέ-